*δ᾽ ἀρχὴν ποιοῦνται τὸ φίλημα· καὶ πρεσβυτέρα μὲν οὐκ ἂν πρὸ τῆς τῶν χειλῶν ἐμβολῆς ἀνάσχοιτο μίξεως· αἱ δὲ νέαι πολλάκις πρὸς τὴν συνουσίαν καὶ δίχα τῶν φιλημάτων ὁρμῶσιν. εἰ δὲ μὴ παρεῖεν θήλειαι, παρὰ τὸν κοινὸν τῶν ὀρνέων νόμον ἐπιβαίνουσιν ἀλλήλοις οἱ ἄρρενες καὶ ᾠὰ τίκτουσιν, οὐδὲν πρὸς νεοττῶν γονὴν ἐπιτήδεια.*

**26.** *Καὶ τὰς κατοικιδίους δὲ ὄρνεις ἴσμεν ἀλεκτρυόνων χωρὶς καὶ ἐν ταῖς τῶν γυναικῶν χερσὶ θερμαινομένας ἀποτίκτειν ᾠά· πρὸς εὐτοκίαν δὲ αὐταῖς, ἣν ὠδίνωνται, χρήσιμον ἐκ τῆς γῆς τῷ στόματι κάρφος λαβεῖν καὶ ἐπιτιθέναι τοῖς νώτοις. ὑπὲρ πάντα δὲ τὰ πτηνὰ τοὺς ἀλεκτρυόνας ἴσμεν πολλαῖς χαίροντας μάχαις καὶ συνουσίαις. φωτὶ δὲ μάλιστα χαίρουσι καὶ προαγγέλλουσι τὴν ἡμέραν ὡς ἡλίῳ κεχαρισμένοι, καὶ τὰς τῶν γαμετῶν ὠδῖνας παρηγοροῦσι τῇ κοινωνίᾳ τῶν πόνων, ὥστε ἠρεμαῖόν τι καὶ λεπτὸν προσᾴδειν εἰς παραμυθίαν αὐταῖς.*

113] **27.** *Πρὸ δὲ τῶν λοιπῶν πάντων ὀρνίθων, ἔτι χειμῶνος ὄντος, ὁ κόσσυφος ἀποτίκτει, καὶ χαίρει μύρτοις καὶ δάφναις καὶ κυπαρίσσων ἄλσεσι καὶ ταῖς εὐθαλέσι λεύ-*